ἐλέφαντι ὁμόσε ἰών[121]· τὰ δὲ ἄλλα[122] οὐκ ὢν ἀξιόμαχος[123], διά τε τὸ ἐκείνου ὕψος, καὶ τὴν ῥώμην τὴν τοῦ θηρὸς τὴν τοσαύτην, ὕπεισιν αὐτοῦ τὰ σκέλη[124], καὶ τὴν νηδὺν ὑποτέμνει τε καὶ ὑποσχίζει τῷ κέρατι· ὁ δὲ οὐ μετὰ μικρὸν ἐκρυέντος οἱ τοῦ αἵματος κατολισθαίνει. Μάχη δὲ ῥινοκέρωτος πρὸς ἐλέφαντα ὑπὲρ τῆς νομῆς ἐστι, καὶ πολλοῖς ἐλέφασιν ἐντυχεῖν ἐστι[125] τεθνεῶσι τοῦτον τὸν τρόπον. Ἂν δὲ μὴ φθάσῃ ὁ ῥινόκερως δράσας τοῦτο, ἀλλὰ ὑποτρέχων πως ὑποπεσόντος πιεσθῇ[126], περιβαλόμενος τὴν προβοσκίδα[127], καὶ κατέχει, καὶ πρὸς ἑαυτὸν ἕλκει, καὶ ἐμπίπτων τοῖς κέρασι[128] κατακόπτει ὡς πελέκεσιν. Εἰ γὰρ καὶ φορίνην[129] ὁ ῥινόκερως ἔχει στερεὰν καὶ δυσδιακόντιστον[130], ἀλλ᾽ ἡ βία τοῦ ἐμπίπτοντος μάλα καρτερά.

---

121) Ὁμηρικὴ φράσις. Συμπλακεὶς μετ᾽ αὐτοῦ. 122) Κατὰ τὰ ἄλλα. 123) Κατὰ τοῦ ἐλέφαντος. 124) Εἰσχωρεῖ ὑπὸ τὰ σκέλη του. 125) Δύναται ν᾽ ἀπαντήσῃ τις, ἀπαντῶνται πολλοί. 126) Ὑποτρέχων αὐτὸς ὑπὸ τὸν ἐλέφαντα, πιεσθῇ ὑπ᾽ αὐτοῦ ὑποπεσόντος, ἴσως ἐπιπεσόντος. 127) Ὁ ἐλέφας. 128) Καταχρηστικῶς, διότι κυρίως εἶναι ὀδόντες, ἂν καὶ χρησιμεύουν ἀντὶ κεράτων. 129) Δέρμα, τομάριον. 130) Δι᾽ ἧς δυσκόλως διέρχεται τὸ ἀκόντιον.